# 01 NOIEMBRIE

# SLUJBA SOBORULUI SF.LARISEI

# MINEIUL-GR

# Ἀκολουθία τῶν 14 ΕΝ ΛΑΡΙΣῌ ΑΓΙΩΝ

Ψαλλομένη τῇ α' Κυριακῇ τοῦ μηνός Νοεμβρίου

Ποίημα Μητροπολίτου Ἐδέσσης Ἰωήλ

## ΕΝ ΤΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι' καί ψάλλομεν Ἀναστάσιμα δ' καί τῶν Ἁγίων τά ἑξῆς στ'. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Φιλεόρτων συστήματα, συνελθόντες τιμήσωμεν, Ἐκκλησίας ἄνδρας ἁγίους σήμερον, τούς ποιμανσίᾳ ἐκλάμψαντας, ἀθλήσει καί αἵματι, καί ἀσκήσει θαυμαστῇ, ἐν ἀρχαῖοις τοῖς ἔτεσι, οἱ μακάριοι, καί ἐν χρόνοις ἐσχάτοις ἐκβοῶντες, δεκατέσσαρα Λαρίσης, χαίρετε ἄστρα πολύφωτα.

Ὥσπερ στύλοι οἱ ἄσειστοι, Ἱεράρχαι ἀοίδημοι, τῆς Λαρίσης ὤφθητε πάντες χάριτι, ὁ προεξάρχων Ἀχίλλιος, καί Μᾶρκος ὁ ὅσιος, καί Θωμᾶς ὁ θαυμαστός, καί Νεόφυτος πάντιμος, Βησσαρίωνες, Διονύσιος σύν τῷ θεολόγῳ, Ἀντωνίῳ καί σύν τούτοις, Κυπριανός ὁ μακάριος.

Οἱ κλεινοί Νεομάρτυρες, τῆς Λαρίσης κοσμήματα, περιοίκου πάσης δέ τά στηρίγματα, ὁ Γεδεών ὁ πανθαύμαστος, Τυρνάβου τό καύχημα, καί Κοσμᾶς ὁ Αἰτωλός, καί Ῥαψάνης τό βλάστημα, ὁ

Γεώργιος, Ἰωάννης ὁ ἐκ Μονεμβασίας, καί σύν τούτοις ὁ παμμάκαρ, Δαμιανός εὐφημήσθωσαν.

Ὡς πολύτιμον μάργαρον, τόν Χριστόν ἀξιότιμοι, ἐν καρδίᾳ ἔχοντες ἐκηρύξατε, Εὐαγγελίου ἀλήθειαν, Ἐπίσκοποι ἅγιοι, καί γενναῖοι Ἀθληταί, τῆς Λαρίσης σεμνώματα, ἐν τοῖς ἔτεσι, τοῖς ἀρχαίοις καί χρόνοις νεωτέροις, καί πιστῶν τῆς Ἐκκλησίας, τάς διανοίας ηὐγάσατε.

Τόν ἀρχέκακον δράκοντα, καί τά τούτου γεννήματα, κακοφρόνων ἅπαντα τά συστήματα, Ἀγαρηνῶν δέ μυθεύματα, πανεύφημοι Ἅγιοι, ἐτροπώσατε στερρῶς, θείοις λόγοις τῆς χάριτος, καί ἀσκήσεσι, καί ἀθλήσει νομίμῳ καί ἐνστάσει· διό σήμερον τήν μνήμην, ὑμῶν τιμῶμεν γηθόμενοι.

Ἐπαξίως ἡ Λάρισα, ἐγκαυχᾶται Ἀχίλλιε, σύν Κοσμᾷ Ἀντώνιε καί Νεόφυτε, Κυπριανέ καί Γεώργιε, Θωμᾶ, Βησσαρίωνες, Γεδέων, Δαμιανέ, Μᾶρκε θεῖε Ἐπίσκοπε, Διονύσιε, θεοδόξαστε σύν τῷ Ἰωάννῃ, εὐλαβῶς ἐπιτελοῦσα, ὑμῶν τήν Σύναξιν Ἅγιοι.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον τῶν θεοφιλῶν τῆς Λαρίσης Ἁγίων, ἑορτάζεται ἡ μνήμη, πρός οὕς πάντες εὐφροσύνως, τό χαίρετε ἐκβοῶμεν λέγοντες· χαίρετε Ἀρχιθύται μακάριοι, Ἀχίλλιε, Θωμᾶ καί Νεόφυτε, Διονύσιε, Μᾶρκε καί Κυπριανέ, σύν δυσί Βησσαρίωσι, καί Ἀντώνιε· χαίρετε εὐκλεεῖς Νεομάρτυρες, Κοσμᾶ Ἱερομάρτυς, Ἰωάννη, Δαμιανέ, Γεδεών καί Γεώργιε· χαίρετε ἀξιάγαστοι τῆς Ἐκκλησίας Ποιμένες, καί

www.tezaurliturgic.ro

Ἀθλοφόροι θεοδόξαστοι, οἱ τόν καλόν ἀγῶνα νομίμως τελέσαντες, καί ἐνδόξως στεφανωθέντες. Διό νῦν ἐν οὐρανοῖς συνδιαιτώμενοι Ἀγγέλοις, μή παύσητε πρεσβεύοντες, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Τό Δοξαστικόν τοῦ ἤχου.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας καί Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Γ΄ 1 -9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Ε' 15 - ΣΤ' 3).

Δίκαιοι είς τὸν αἰῶνα ζῶσι, καὶ έν Κυρίῳ ὁ μισθὸς αύτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν είς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον˙ λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα˙ ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν είς ῥομφαίαν˙ συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι˙ ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως˙ ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε˙ μάθετε δικασταὶ περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (κεφ. 4, 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη· καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

## Ἦχος α’.

Ἐν τῇ Λαρίσῃ πανεύφημοι Ἅγιοι, καὶ ἐν τῇ περιοίκῳ ταύτης, ἐν ἡμέραις ἀρχαίαις καὶ ἐπ’ἐσχάτων τῶν χρόνων, τὰ στίγματα τοῦ Κυρίου, πολυτρόπως ἐβαστάξατε, καὶ ὡς σάλπιγγες εὔηχοι, τοῦ Εὐαγγελίου τὰ διδάγματα ἐμελωδήσατε τοῖς πᾶσι· τῆς πολυειδοῦς πλάνης τοῦ βελίαρ, τὴν ἀθεότητα ἠδαφίσατε, καὶ τὸν Χριστὸν ὁλοψύχως ἠγαπήσατε· Ὃν ταῖς εὐχαῖς ὑμῶν, Ἱεράρχαι καὶ Ἀθλοφόροι, δυσωπήσατε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β’.

Ἱεραρχῶν ἐννεάριθμος φάλαγγα, Ἀχίλλιε, Διονύσιε καί Θωμᾶ, Μᾶρκε, Νεόφυτε σύν Κυπριανῷ, Βησσαρίωνες δύο καί Ἀντώνιε, οἱ τήν Ὀρθόδοξον πίστιν στηρίξαντες, τῶν αἱρετικῶν τάς ἀγέλας σκεδάσαντες, καί τόν λαόν τοῦ Κυρίου, λόγοις καί βίῳ σεμνῷ παιδαγωγήσαντες, καί Ἀθλοφόρων τῶν νέων πεντάς περιάκουστος, Κοσμᾶ Ἱερομάρτυς, Δαμιανέ, Γεδεών, Γεώργιε καί Ἰωάννη πανεύφημοι, οἱ ἐν τοῖς χρόνοις τῆς πικρᾶς δουλείας μή δειλανδρίσαντες, ἀλλ’ εὐτόνως τῶν ὀρθῶν δογμάτων τήν ἀλήθειαν, μαρτυρικῶς ὁμολογήσαντες, διηνεκῶς πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

Ἦχος γ’.

Ἔχοντες πρό ὀφθαλμῶν, τοῦ Χριστοῦ τά ζωηφόρα παθήματα, τῆς σαρκός τά σκιρτήματα, τοῦ νοός τά ἐπιβλαβῆ νοήματα καί τῆς ψυχῆς τό φιλάμαρτον ἠλογήσατε, περιχαρῶς ἀναλαβόντες ἐπωμάδιον, τόν σταυρόν τοῦ Κυρίου ἡμῶν. Ὅθεν ἐδείχθητε, τῆς ἑκουσίου πτωχείας σύζυγοι, τῆς προσευχῆς φίλοι, ἐλεημοσύνης ὑπέρμαχοι, τῆς καλῆς ὁμολογίας θιασῶται καί τοῦ μαρτυρίου ἐρασταί. Διό τήν πανίερον ὑμῶν μνήμην, ἐν τῇ περιφανεστάτῃ τῆς Λαρίσης πόλει, λαμπρῶς ἑορτάζοντες, ὑμᾶς καθικετεύομεν, Ἀρχιθῦται πανάριστοι καί λαμπροί τῆς Ἐκκλησίας ὁπλῖται, περιφρουρῆσαι ταῖς λιταῖς ὑμῶν τήν πόλιν ταύτην καί τόν Ὀρθόδοξον λαόν.

Ἦχος δ’.

Ἔχοντες τοῦ Παρακλήτου τήν χάριν, σημεῖα καί θαύματα, τέσσαρες καί δέκα τῆς Λαρίσης Ἅγιοι, ἐποιήσατε. Τά γάρ λείψανα ὑμῶν, ἰατρεῖα ἀδάπανα ἀνιάτων νόσων καί ψυχικῶν ἀρρωστημάτων, τοῖς βροτοῖς ὤφθησαν καί ὁ βίος ὑμῶν ὑπογραμμός γέγονε, πᾶσι τοῖς αἰτοῦσιν τήν βοήθειαν ὑμῶν, ἥν πάντοτε μή παύσητε δωρούμενοι, ἡμῖν τοῖς ἐν κινδύνοις οὖσι καί δεομένοις τῆς ἀντιλήψεως ὑμῶν.

Δόξα. Ἦχος πλ. α’.

Ἱεραρχική λαμπρότητι καί ἀθλητικῇ εὐπρεπείᾳ, οἱ τέσσαρες καί δέκα Ἅγιοι, τήν Μητρόπολιν Λαρίσης ἐκόσμησαν καί τῶν πιστῶν Ὀρθοδόξων τήν πίστιν ἐτράνωσαν, ἐν τῷ ἐμμένειν στερρῶς τοῖς πατρῴοις δόγμασι καί τοῖς εὐσεβέσι παραδόσεσι. Ὅθεν λαμπρῶς τήν ἐπέτειον, τῆς ἱερᾶς συνάξεως αὐτῶν σήμερον ἄγοντες, δεόμεθα τούτων, διαφυλάττειν πάντοτε ταῖς αὐτῶν ἱκετηρίαις, ἐκ παντός κινδύνου ὑμᾶς καί περιστάσεως.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε…

Εἰς τόν Στίχον Προσόμοια, πρῶτον τό Ἀναστάσιμον τοῦ Ἤχου. Εἶτα τά ἑξῆς τῶν Ἁγίων. Ἦχος πλ. α’. Χαίροις ἀσκητικῶν.

Στ. *Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ῥήματα αὐτῶν.*

Χαίροις, Λαρισηνῶν ὁ χορός, οἱ θεοφόροι ἄνδρες δέκα καί τέσσαρες, οἱ πέντε τροπαιοφόροι καί οἱ ἐννέα λαμπροί, τῆς πόλεως ταύτης ἀρχιποίμενες· Ἀχίλλιε πάντιμε καί Γεώργιε ἔνδοξε, Θωμᾶ καί Μᾶρκε, Ἰωάννη, Νεόφυτε καί Ἀντώνιε, σύν δυσί Βησσαρίωσιν, ἅγιε Διονύσιε, Κοσμᾶ καί οἱ πάντιμοι, Κυπριανέ Ἰωάννη καί Γεδεών ὁ ὁσιαθλος· Χριστόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στ. *Τίμιος έναντίον Κυρίου, ό θάνατος τοῦ Ὁσίου Αύτοῦ.*

Ἅγιοι τῆς Λαρίσης κλεινοί, τῆς Ἐκκλησίας τοῦ Χριστοῦ καλλωπίσματα, λαμπτῆρες τῆς εὐσεβείας, φωταγωγοῦντες ἡμᾶς, τῇ τοῦ Παρακλήτου θείᾳ χάριτι· κανόνες εὐθύτητος, τά στρεβλά τῶν αἱρέσεων, καί ἀταξίαν, τῶν παθῶν τήν ἀνύποιστον, οἱ εὐθύναντες, ζήλῳ θείῳ καί σώφρονι· κλήματα τά πολύφορα, ἀφθόνως ἐκβλύζοντα, γλεῦκον θαυμάτων ποικίλων, καί τῆς κατ'ἄμφω ἰάσεως. Χριστόν σαῖς πρεσβείαις, ἱκετεύσατε δοθῆναι, ἡμῖν δωρήματα.

Στ. *Καυχήσονται Ὅσιοι έν δόξῃ καί άγαλλιάσονται έπί τῶν κοιτῶν αύτῶν.*

Πᾶσα τῶν φιλαγίων πληθύς, σήμερον τέρπεται ὁμοῦ καί ἀγάλλεται, τελοῦσα ἐν τῇ Λαρίσῃ, ἐν εὐλαβείᾳ πολλῇ, ὑμῶν θεοφόροι τά μνημόσυνα· τόν νοῦν γάρ στηρίξαντες, πρός τά ἄνω σκηνώματα, τά φρυγανώδη, καί τά ῥέοντα ἅπαντα, ἐμισήσατε, ὡς οὐράνιοι ἄνθρωποι· ὅθεν συνηριθμήθητε, Πατέρες καί Μάρτυρες, τῶν Ἀθλοφόρων τοῖς δήμοις, καί

Ἐπισκόπων Θεοῦ ἡμῶν. Αὐτόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, πταισμάτων ἄφεσιν.

Δόξα. Ἦχος πλ. β'.

Τῇ παντουργικῇ ἰσχύϊ τῆς Τρισηλίου θεότητος, καί τῷ ἰδίῳ εὐσεβῇ θελήματι χρώμενοι, οἱ θεοφόροι Ἐπίσκοποι καί σύν αὐτοῖς οἱ ἅγιοι Μάρτυρες, τῆς Λαρίσης τά λογικά θρέμματα, τάς ζωοποιούς ἐντολάς τοῦ Σωτῆρος Χριστοῦ ἐτήρησαν, τήν στενήν βαδίσαντες, τῶν ἀρετῶν τρίβον καί νικητικῶς εἰσῆλθον, είς τάς μονάς τοῦ Οὐρανίου Πατρός, συνδιαιτώμενοι τοῖς πολίταις, τῆς Βασιλείας τῶν Οὐρανῶν, μεθ'ὧν καθικετεύουσιν ἀπαύστως, ὑπέρ τῶν πίστει τιμώντων, τήν ἀεισέβαστον μνήμην αὐτοῦ.

Καί νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τόν Θεόν ἀφράστως...

Νῦν ἀπολύεις, Τρισάγιον, τό Ἀναστάσιμον Ἀπολυτίκιον τοῦ ἤχου καί τῶν Ἁγίων.

Ἦχος α'. Τούς τρεῖς μεγίστους φωστῆρας.

Τούς δέκα τέσσαρας ἄνδρας, Λαρισηνούς ἀνυμνήσωμεν, τούς Ἀρχιερεῖς τοῦ Ὑψίστου, καί τούς θεόφρονας Μάρτυρας, τῆς ἀληθείας ἐραστάς τούς ἐνδόξους, ποιμαντορίαις θείαις καί μαρτυρίοις ἅπαντας διαπρέψαντας· Ἀχίλλιον τόν Μέγαν, Κυπριανόν, Βησσαρίωνας, Δαμιανόν στεφανίτην, καί Γεώργιον, Ἀντώνιον, Μᾶρκον, Ἰωάννην, Κοσμᾶν, Γεδεών, τόν Θωμᾶν τε καί τόν Νεόφυτον, σύν τῷ Διονυσίῳ, λιταῖς ἡμᾶς ἀεί φυλάττοντας.

Ἕτερον. Ὁ αὐτός. Τῆς ἐρήμου πολίτης.

Λαρισαίων προστάται, δεκατέσσαρες Ἅγιοι, καί τῆς Ἐκκλησίας οἱ στύλοι, Ἱεράρχαι καί Μάρτυρες, ἐδείχθητε δυνάμει τοῦ Χριστοῦ, ἐν χρόνοις διαφόροις καί καιροῖς, ὥσπερ Ἄγγελοι βιώσαντες ἐπί γῆς, διό καί ἀνακράζομεν· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι δι'ὑμῶν, πᾶσιν ἰάματα.

Θεοτοκίον.

Τοῦ Γαβριήλ φθεγξαμένου Σοί Παρθένε, τό χαῖρε...

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά την α' Στιχολογίαν, Καθίσματα Ἀναστάσιμα τοῦ ἤχου.

Μετά την β' Στιχολογίαν, Καθίσματα τῶν Ἁγίων. Ἦχος α'. Τόν τάφον Σου, Σωτήρ.

Ὁ πάντιμος χορός, Λαρισαίων Ἁγίων, ὡς ὄλβος τοῦ Χριστοῦ, πολυτίμητος ὄντος, δωρεῖται τά ἰάματα, τῆς ψυχῆς καί τοῦ σώματος, τήν εἰρήνευσιν, καί πρός ἀλλήλους ἀγάπην, ἡμῖν ἅπασι, τοῖς ἐκζητοῦσι ἐν πίστει, αὐτῶν τήν βοήθειαν.

Θεοτοκίον.

Ὡς Μήτηρ τοῦ Χριστοῦ, και πανάμωμος Νύμφη, παρίστασαι Ἁγνή, ταῷ Υἱῷ και Θεῷ Σου, πρεσβεύουσα Πανάμωμε, ὑπέρ πάντων ταῶν δούλων Σου, άνατείνουσα, ἱκετικῶς τάς παλάμας, διό ῥῦσαι με, έκ δεσμῶν τοῦ Βελίαρ, και πάσης στενώσεως.

Ἀντί τοῦ Ἀμώμου τόν Πολυέλεον, μεθ'ὅν τά Εύλογητάρια· εἶτα ἡ Ὑποκοή τοῦ ἤχου καί τό Κάθισμα τῶν Ἁγίων.

Ἦχος δ'. Ὁ ὑψωθείς έν τῷ σταυρῷ.

Λαρισηνῶν οἱ θεοφόροι προστάται, άνευφημήσθωσαν μελίσμασι θείοις, Κυπριανός, Ἀχίλλιος, Νεόφυτος, Μᾶρκος, Διονύσιος, Βησσαρίωνες δύο, ὁ Θωμᾶς, Γεώργιος, Γεδεών Νεομάρτυς, Δαμιανός, Ἀντώνιος, Κοσμᾶς, καί Ἰωάννης, οἱ δέκα καί τέσσαρες.

Θεοτοκίον.

Ἐν Σοί οίκήσας ὁ Θεός τῶν ἁπάντων, Παρθενομῆτορ Θεοτόκε Μαρία, ἡμῶν τήν φύσιν ὅλως άνεκαίνισε, τόν άρχαῖον δράκοντα, καί δεινόν πτερνοσκόπον, εύσθενῶς συνέτριψε, καί θανάτου τά κέντρα, έν έξουσίᾳ ἔλυσεν Ἁγνή, καί σωτηρίαν, τοῖς πᾶσιν έδώρησε.

Τό Ἑωθινόν Εὐαγγέλιον κατά τήν τάξιν αύτοῦ. Εἶτα οἱ Κανόνες· ὁ Ἀναστάσιμος, τῆς Θεοτόκου καί

τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς· *Τέσσαρας καί δέκα τιμῶ Λαρισαίους. Ἰωήλ.*

Ὠδή α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Τῶν Λαρισαίων ἀνυμνῶ τά θαύματα, καί τήν σεμνήν βιοτήν, ἄθλησιν ἁγίαν, καί τά κατορθώματα, διό αἰτῶν τήν δύναμιν, τῆς Ἁγίας Τριάδος, ὅπως τιμήσω τήν σύναξιν, τούτων γηθοσύνοις μελίσμασι.

Ἐνδεδυμένοι Ἱεράρχαι ἅγιοι, Λαρισηνοί τοῦ Χριστοῦ, θείαν διπλοΐδα, πρός Θεόν ὑψώσατε, τάς χεῖρας ἀξιάγαστοι, ὑπέρ πάσης τῆς ποίμνης, ὅπως φυλάξῃ τά δόγματα, τῆς Ὀρθοδοξίας ἀμόλυντα.

Στρατείαν ὄντως τοῦ ἐχθροῦ ὠλέσατε, τήν φοβεράν ἐπί γῆς, ἐν τοῖς νέοις χρόνοις, λόγοις τε καί πράξεσι, στερρῶς ὑπερμαχήσαντες, μέχρις αἵματος πάντες, Εὐαγγελίου τῆς χάριτος, Μάρτυρες Λαρίσης πεντάριθμοι.

Θεοτοκίον.

Σωματωθείς ἐκ τῶν ἁγνῶν αἱμάτων Σου, ὁ τοῦ ἀνάρχου Πατρός, Λόγος ἀπορρήτως, ἥλιος ὡς ἄδυτος, ἀνέτειλε Πανάχραντε, ἐκδιώξας τό σκότος, καί ἀρχεκάκου ἀλάστορος, καί τῆς ἁμαρτίας ἀναύρωσιν.

Ὠδή γ'. Ὁ στερεώσας κατ'ἀρχήν.

Ἀπό καρδίας οἱ πιστοί, Λαρίσης τόν πολιοῦχον, ἀναμέλπουσιν Ἀχίλλιον πάντες· ἀνεδείχθη γάρ στερρός, ἐν τοῖς ἀρχαῖοις ἔτεσι, τῆς πίστεως ὁ φύλαξ, τῶν Ὀρθοδόξων καί πρόμαχος.

Ῥοή σημείων θαυμαστῶν, τῶν σῶν λειψάνων ἡ λάρναξ, ἐν Λαρίσῃ ἐπ’ ἐσχάτων τυγχάνει, προσπορίζουσα ἡμῖν, ἀσθενειῶν τήν ἴασιν, καί τῆς ψυχῆς εἰρήνην, πρωθιεράρχα Ἀχίλλιε.

Ἀρχιερεῦ Κυπριανέ, Μητροπολῖτα Λαρίσης, ἐπεγνώσθης μοναζόντων ὁ κόσμος· πολεμήσας γάρ καλῶς, τά τῶν παθῶν κινήματα, καί τῆς σαρκός ἐγέρσεις, πρός πλάτος ἦλθες τῆς χάριτος.

Θεοτοκίον.

Σύ εἶ ἰσχύς Χριστιανῶν, Πανάχραντε Θεοτόκε, ὡς γεννήσασα Χριστόν τόν Σωτῆρα, καί τοῦ ἀρχαίου πτερνιστοῦ, τήν δυναστείαν ἔπαυσας, ἐλευθεροῦσα πάντας, ἐκ τῆς δουλείας τῷ τόκῳ Σου.

Τό Κοντάκιον καί ὁ Οἶκος τοῦ ἤχου, μεθ’ ὅν τό Κάθισμα τῶν Ἁγίων.

Ἦχος δ’. Ταχύ προκατάλαβε.

Λαρίσης οἱ Μάρτυρες, καί Ἱεράρχαι σεμνοί, τήν πόλιν φρουρήσατε, ταῖς σαῖς ἁγίαις λιταῖς, ἐκ βλάβης τοῦ δράκοντος· σχόντες γάρ παρρησίαν, πρό τοῦ θρόνου Δεσπότου, πάσας τάς μεθοδείας, καί παγίδας δαιμόνων, σκεδάζετε ταχέως, ὑμῶν ἀντιλήψεσι.

Θεοτοκίον.

Ἀφράστως Ἀνύμφευτε, τόν ἐπί πάντων Θεόν, τεκοῦσα κατήργησας, τῆς ἁμαρτίας ἰσχύν, καί πᾶσαν κατήφειαν· παύσασα γάρ τήν λύπην, τῆς Προμήτορος Εὔας, ἤνεγκας τοῖς ἀνθρώποις, τήν χαράν Θεοτόκε, τοῖς πίστει προσκυνοῦσι, τόν ἄχραντον τόκον Σου.

Ὠδή δ'. Σύ μου ἰσχύς.

Κραταιωθείς ἐξ οὐρανοῦ ἀξιάγαστε, ποιμενάρχης πάλαι ἐχρημάτισας, Λαρισηνῶν ὄντως ποδηγῶν, πρός τήν σωτηρίαν, λαόν Θεοῦ περιούσιον· διό σου ἀνυμνοῦμεν, τόν φιλόθεον βίον, ἀρετάς καί ἀσκήσεις Ἀντώνιε.

Ἀναδειχθείς τῆς Ἐκκλησίας Ἀντώνιε, θεολόγος νέος τά ἐντάλματα, ἐπιτυχῶς εἴρηκας λαῷ, Πάτερ ἐκδιώκων, τήν Χριστομάχον παράταξιν, κακόνοιαν ἀνθρώπων, τόν ἐφάμαρτον βίον, καί βελίαρ κακότητα Ἅγιε.

Ἱερουργός ἡγιασμένος γενόμενος, ἐν Λαρίσῃ ὤφθης ὥσπερ ἄσαρκος, ἱκετικῶς χεῖρας ἀνυψῶν, πρός τόν σόν Δεσπότην, ὦ ἀρχιθῦτα Νεόφυτε, ὑπέρ τοῦ σοῦ ποιμνίου, καί εἰρήνης τοῦ κόσμου, καί παντός Ὀρθοδόξου ἀοίδημε.

Θεοτοκίον.

Δοξολογῶ τόν ἀεισέβαστον τόκον Σου, Θεοτόκε νύμφη ἀπειρόγαμε, δι'οὗ ὁ κόσμος ἐκ φθορᾶς, καί τοῦ ἀντιδίκου, διά παντός ἠλευθέρωται, καί γένος τῶν ἀνθρώπων, εἰς τήν θέωσιν ἤχθη· διό πάντες τό χαῖρε Σοι ᾄδομεν.

Ὠδή ε'. Ἵνα τί με ἀπώσω.

Ἐναρέτως βιώσας, μάκαρ Βησσαρίων ποιμήν θεοδόξαστε, καί τῶν Λαρισαίων, ὁδηγός πρός τά κρείττω γεγένησαι· ὅθεν ἐδοξάσθη, καί ἐτιμήθη κατά χρέος, ἡ ἁγία σου μνήμη μακάριε.

Καί ὁ ἄλλος τιμάσθω, πάσης Θετταλίας ἀστήρ ὑπέρλαμπρος, ὁ σημειοφόρος, Βησσαρίων Λαρίσης ὁ δεύτερος· οὗτος γάρ ταμεῖον, πολλῶν ὑπάρχων χαρισμάτων, τῶν πιστῶν τάς χορείας ἐπλούτισε.

Ἀνυμνείσθω σύν τούτοις, πόλεως Λαρίσης ποιμήν ἀξιάγαστος, καί τῆς ἡσυχίας, ἐραστής τε καί φίλος πιστότατος, ὁ παμμάκαρ Μᾶρκος, πατήρ ἐν πνεύματι ἀνθρώπων, ἀγαπώντων Χριστόν τόν φιλάνθρωπον.

Θεοτοκίον.

Τῆς χαρᾶς τό δοχεῖον, θεοτόκε Δέσποινα χαρᾶς μου πλήρωσον, πᾶσαν τήν καρδίαν, συμφορῶν καί τῆς λύπης σκεδάζουσα, τά φρικτά ἐρέβη, καί σκοτοδίνην ἀκηδίας, καί σαρκός νοημάτων σκοτόμαιναν.

Ὠδή στ'. Ἱλάσθητί μου, Σωτήρ.

Ἰθύνατε τόν λαόν, Ἀρχιερεῖς τε καί Μάρτυρες, πρός εὐσεβείας ζωήν, τῷ βίῳ καί ῥήμασι, καί πάσῃ σεμνότητι, ἐν ἀρχαίοις χρόνοις, καί ἐσχάτως ἀξιάγαστοι.

Μελίσμασι εὐλαβῶς, ποιμένα τόν Ἐλεήμονα, τιμήσωμεν Λαρισηνῶν, σεπτόν Διονύσιον, οὗ πάντες δεόμεθα, ταῖς αὐτοῦ πρεσβείαις, λυτρωθῶμεν περιστάσεων.

Ὦς ἔνθεον καί σεμνόν, Θωμᾶν γεραίρομεν σήμερον, Λαρίσης τόν ποδηγόν, καί ταύτης Ἐπίσκοπον· ὡς ἄλλος γάρ ἥλιος, τόν λαόν καί τήν πόλιν, ἀρεταῖς αὐτοῦ κατήστραψε.

Θεοτοκίον.

Λιμένα Σε ἀσφαλῆ, Παρθένε ὄντως γινώσκομεν, πενήτων τόν θησαυρόν, βροτῶν καταφύγιον, νοσούντων τό ἴαμα, οἰκουμένης τεῖχος, καί πιστῶν τό ἀγαλλίαμα.

Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Δεκατεσσάρων Ἁγίων τήν φάλαγγα, Λαρισηνῶν τό φιλόθεον σύστημα, γεραίρει τόν βίον καί ἄθλησιν, καί ἐξαιτεῖται αὐτῶν τήν βοήθειαν· πιστῶν γάρ ἐρείσματα πέλουσι.

Ὁ Οἶκος.

Τούς εὐσεβεῖς καί θεοφόρους κήρυκας, τῆς ἀληθείας τά ἑδραιώματα, τῆς πίστεως τά σεμνώματα, τῆς εὐσεβείας τούς συνηγόρους, τούς δέκα καί τέσσαρας Λαρισηνούς Ἁγίους, τούς ἐννεαρίθμους Ἱεράρχας καί την πεντάδα τῶν ἁγίων Μαρτύρων, τούς ἐν ὁσιότητι καί ἀθλήσει διαπρέψαντας, ἐν διαφόροις χρόνοις, ἐν τῇ πόλει καί τῇ περιοίκῳ τῆς Λαρίσης, σήμερον τελοῦντες αὐτῶν τήν σύναξιν, ἐπαινέσωμεν. Οὗτοι γάρ οἱ μακάριοι, ταῆς πλάνης ζόφωσιν διασκεδάσαντες, τόν βίον τῶν πιστῶν κατά Θεόν εὐθύναντες, ὡς ἀστέρες ἐξέλαμψαν, ἐν τῷ νοητῷ στερρεώματι. Διό πάντες ἡμεῖς ἐξαιτούμεθα αὐτῶν τήν βοήθειαν· πιστῶν γάρ ἐρείσματα πέλουσιν.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ἐν τῇ Ἱερᾷ Μητροπόλει Λαρίσης διαλαμψάντων τεσσάρων καὶ δέκα Ἁγίων, ἤτοι: Ἀχιλλίου, Διονυσίου, Βησσαριώνων δύο, Νεοφύτου, Θωμᾶ, Μάρκου, Ἀντωνίου καὶ Κυπριανοῦ, Ἀρχιεπισκόπων Λαρίσης, καὶ τῶν ἁγίων Νεομαρτύρων Κοσμᾶ τοῦ Αἰτωλοῦ, Γεδεὼν τοῦ Καρακαλληνοῦ, Ἰωάννου τοῦ Μονεβασιώτου, Δαμιανοῦ τοῦ ἐν Κισσάβῳ καὶ Γεωργίου τοῦ ἐκ Ῥαψάνης.

Στίχοι·

*Τοὺς τέσσαρας καὶ δέκα λαμπροὺς Ἁγίους,*
*Λαρίσης ὑμνοῦμεν ἐν ᾄσμασι νέοις.*
*Λαρίσης τὴν Σύναξιν ἀνυμνέω τῶν Ἁγίων Απάντων.*

Αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ελέησον και σῶσον ἡμᾶς, Ἀμήν.

ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ἅγιε Μάρτυς Ἰωάννη, καταγόμενος ἐκ τῆς Μονεμβασίας, ἐν Λαρίσῃ κλεινέ, ἐσχάτως τὸ σὸν αἷμα, ὑπὲρ Χριστοῦ ἐξέχεας, καρτερίᾳ ἀνεκφράστῳ.

Ῥήματα ἔφθεγξας τὰ θεῖα, ἐν Τυρνάβῳ διδοὺς ὁμολογίαν, τοῦ Χριστοῦ Γεδεών, καὶ εἴληφας τὸ στέφος, τοῦ μαρτυρίου ἔνδοξε, ἐκ χειρῶν τοῦ σοῦ Δεσπότου.

Ἴαμα Μάρτυρες Κυρίου, καί Ἐπίσκοποι Λαρίσης θεοφόροι, τά όστέα ὑμῶν, τά πάντιμα έδείχθη, τοῖς Ὀρθοδόξοις ἅπασι, τοῖς τιμῶσι τήν σήν μνήμην.

Θεοτοκίον.

Σύστημα σύντριψον τοῦ βελίαρ, καί πνευμάτων αὐτοῦ τῆς πονηρίας, Θεοτόκε Ἁγνή, λιταῖς Σου ταῖς ὀξείαις, ὑπέρ ἡμῶν πρεσβεύουσα, τῶν τιμώντων τόν Σόν τόκον.

ᾨδή η᾽. Ἑπταπλασίως κάμινον.

Ἱερωσύνης ἔνδυμα, ένδυθείς περιώδευσας, τήν Ἑλλάδα πᾶσαν, έν ὑστέροις ἔτεσι, Κοσμᾶ Ἰσαπόστολε, διαλύων Ἀγαρηνῶν, πλάνην τήν οἰκτράν, τοῖς θεοσόφοις σου λόγοις· διό έν τῇ Λαρίσῃ, έπαινοῦμεν τούς ἄθλους, τήν τμῆσιν τῆς σῆς κάρας, τόν βίον καί τά θαύματα.

Ὁλοκαρδίως δέδωκας, σεαυτόν τῷ Κυρίῳ σου, γόνε τῆς Ῥαψάνης, ἀθλητά Γεώργιε, στηρίζων τό πλήρωμα, Ὀρθοδόξων ὁμογενῶν, καί τοῦ πονηροῦ, διασκεδάζων τούς πλόκους, ένίκησας θεόφρον, έπ᾽ έσχάτων τῶν χρόνων, λαβών τοῦ μαρτυρίου, βραβεῖον τό πολύτιμον.

Ὑπογραμμός γεγέννησαι, έν σπηλαίῳ ἀσκούμενος, τοῖς πιστοῖς ἀνθρώποις, Μάρτυς πολυθαύμαστε, καί ἤρθης τῇ χάριτι, πρός τό ὕψος Δαμιανέ, θείων ἀρετῶν, έπιζητῶν έπιμόνως, θεώσεως τό εἶδος, διό καί γηθοσύνως, ἀγχόνης τιμωρίαν, έδέξω Ὁσιώτατε.

Θεοτοκίον.

Σκεῦος τοῦ Κτίστου πάγχρυσον, καί πιστῶν τό ἑδραίωμα, καί τῶν ἀσθενούντων ἄκος καί βοήθεια, παστάς ἡ ὁλόφωτος, τοῦ Σωτῆρος τῶν γηγενῶν, ἰσχύς κραταιά, σκέπη, τό κράτος καί τεῖχος, τῶν Σέ ἐπευφημούντων, ἐγνωρίσθης Παρθένε, Κυρία Θεοτόκε, Πανύμνητε Μαρία.

Ὠδή θ'. Ἐξέστη ἐπί τούτῳ.

Ἰδού τῶν Λαρισαίων οἱ εὐσεβεῖς, κληρικοί τε ὁμοῦ καί μονάζοντες, καί ὁ λαός, σύναξιν ποιοῦμεν περιφανῆ, τιμῆσαι δεκατέσσαρας, σεμνούς Ἱεράρχας καί Ἀθλητάς, τούς ἐν τοῖς χρόνοις τούτοις, καί ἐν παλαιοτέροις, δίκην ἡλίου διαλάμψαντας.

Ὡς σχόντες παρρησίαν ἐν οὐρανῷ, ὑπέρ πάντων πρεσβεύσατε Ἅγιοι, Κυπριανέ, Γεδεών, Ἀχίλλιε καί Θωμᾶ, Νεόφυτε, Γεώργιε, Μᾶρκε, Βησσαρίωνες καί Κοσμᾶ, παμμάκαρ Ἰωάννη, σύν τῷ Διονυσίῳ, Δαμιανέ καί σύ Ἀντώνιε.

Ἡ Λάρισα καυχᾶται σεμνοπρεπῶς, ἐπί τῇ μνήμῃ ὑμῶν ἀξιάγαστοι, καί συγκαλεῖ, τόν λαόν ὑμνῆσαι τήν βιοτήν, τά ὑπέρ φύσιν θαύματα, λόγους καί διδάγματα εὐσεβῆ, μαρτύρια καί ἄθλους, καί πάσας τάς βασάνους, ὑμῶν Ἁγίων ἀκροθήνια.

Θεοτοκίον.

Λυτῆρα τῶν ἀνθρώπων ἐκ τῶν κακῶν, τῶν ποικίλων τεκοῦσα Πανάχραντε, καί ἰατρόν, πάντων τῶν ἀλγούντων σωματικῶς, ἐκ νόσων Ἀειπάρθενε, καί

έξ έπηρείας τοῦ πονηροῦ, μή παύσῃ ταῖς πρεσβείαις, Αὐτόν έκδυσωποῦσα, ὑπέρ ἡμῶν τῶν άνυμνούντων Σε.

Ἐξαποστειλάρια. Πρῶτον τό Ἀναστάσιμον καί εἶτα τό ἐξῆς τῶν Ἁγίων. Γυναίκες άκουτίσθητε.

Λαρίσης δεκατέσσαρας, Ἁγίους έπαινέσωμεν, Ἀρχιερεῖς τούς ἐννέα, καί τήν πεντάδα Μαρτύρων, τούς κήρυκας τῆς πίστεως, Μαρτύρων καλλωπίσματα, καί ξίφη τά τοῦ Πνεύματος, ἵνα ῥυσθῶμεν πρεσβείαις, ταῖς τούτων έκ τοῦ βελίαρ.

Θεοτοκίον.

Παρθένε Ἀπειρόγαμε, πιπτόντων έπανόρθωσις, καί τῶν πταιόντων ὑπάρχεις, τό ἱλαστήριον Μῆτερ, διό ἡμᾶς άνόρθωσον, εύχαῖς και ἱκεσίαις Σου, έκ λάκκου παραβάσεων, ἵνα ὑμνῶμεν άπαύστως, τῶν σῶν χαρίτων τό πλῆθος.

Είς τούς Αἵνους, ἱστῶμεν στίχους η’ καί ψάλλομεν Ἀναστάσιμα τοῦ τυχόντος ἤχου καί τῶν Ἁγίων τά ἐξῆς δ’.

Ἦχος α’. Τῶν ούανίων ταγμάτων.

Τῶν Λαρισαίων Ἁγίων χορείαν πάντιμον, τήν έκ δεκατεσσάρων, ἕως νῦν συγκειμένην, ἀγίους Ἐπισκόπους καί Ἀθλητάς, έπαινέσωμεν λέγοντες· τήν πόλιν ταύτην φρουρήσατε ταῖς ὑμῶν, ἱκεσίαις πρός τόν Κύριον.

Τούς ἀρχιθύτας Λαρίσης ἐγκωμιάσωμεν, Ἀχίλλιον καί Μᾶρκον, Βησσαρίωνας δύο, Νεόφυτον, Ἀντώνιον καί Θωμᾶν, Διονύσιον ἅγιον, καί σύν αὐτοῖς τοῖς ἐνθέοις Κυπριανόν, πρεσβευτάς ἡμῶν πρός Κύριον.

Στ. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Νεομαρτύρων πεντάδα, τήν περιάκουστον, Δαμιανόν τόν Νέον, καί Κοσμᾶν θεοφόρον, Τυρνάβου πολιοῦχον τόν Γεδεών, Ἰωάννην, Γεώργιον, τῶν Λαρισαίων τό κλέος καί τήν τιμήν, ἐγκωμίοις καταστέψωμεν.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καί ἀγαλλιάσονται ἐπί τῶν κοιτῶν αὐτῶν.*

Λαρισηνοί Ἱεράρχαι καί θεῖοι Μάρτυρες, Μητρόπολιν Λαρίσης, καί λαόν τοῦ Κυρίου, φρουρήσατε πρεσβείαις ὑμῶν ἀεί, ἐκ ποικίλων αἱρέσεων, τῶν ταραχῶν διαβόλου, καί ἐκ πολλῶν, ἐφαμάρτων καταστάσεων.

Δόξα. Ἦχος πλ. α’.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, κροτήσωμεν τῷ πνεύματι, καί γηθοσύνως πανηγυρίσωμεν, ἐπί τῇ θείᾳ μνήμῃ τῶν ἐν Λαρίσῃ Ἁγίων. Ἱερεῖς καί ἄρχοντες, είς μίαν συνελθέτωσαν συναγωγήν καί συμφώνως ὑμνείτωσαν, τούς δέκα καί τέσσαρας ἄνδρας. Κοσμικοί καί μονάζοντες, τούς Ἱεράρχας καί Μάρτυρας, συνελθόντες ἐπαινέσωμεν. Εὐσεβείας τούς ἐραστάς, ποιμανσίας τούς λύχνους, τῆς Ἱερωσύνης τά σκεύη, τό κόσμημα τῶν πιστῶν, τῆς Ὀρθοδόξου ὁμολογίας φίλους, Νεομαρτύρων

λαμπράν προσθήκη, Εὐαγγελίου σεμνούς ῥήτορας, στύλους τῆς Ἐκκλησίας τούς ἀνεγκλήτους, τούς μύστας τῆς σοφίας, ὕμνοις γεραίροντες, οὕτως εἴπωμεν. Ἐπίσκοποι καί στεφανῖται Λαρίσιοι, οἱ τόν καλόν ἀγῶνα νομίμως ἀγωνησάμενοι καί στεφανωθέντες, μή παύσητε δεόμενοι, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις...

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά Τυπικά καί είς τούς Μακαρισμούς Ἀναστάσιμα δ’ καί τῶν Ἁγίων ἡ γ’ καί στ’ ᾠδή.

Ἀπόστολον τῆς Κυριακῆς καί τῶν Ἁγίων (ζῆτει τῇ 26η Ὀκτωβρίου, έν τῇ ἑορτῇ τοῦ Μεγαλ. Δημητρίου).

Εὐαγγέλιον τῆς Κυριακῆς καί τῶν Ἁγίων (ζῆτει τῇ 13η Νοεμβρίου, έν τῇ ἑορτῇ τοῦ Ἱεροῦ Χρυσοστόμου).

Μεγαλυνάριον.

Χαίρετε Λαρίσης οἱ εὐκλεεῖς, τέσσαρες καί δέκα, Ἱεράρχαι καί ἀθληταί, οἱ λαμπροί φωστηρες, αὐγαῖς τῆς εὐσεβείας, τά πλήθη Ὀρθοδίξων, καταλαμπρύναντες.